A Εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;
Στρ. ἅτερά γε πόλλ'. ἀλλ' ὅτι μάθοιμ' ἑκάστοτε,
Ἐπελανθανόμην ἂν εὐθὺς ὑπὸ πλήθους ἐτῶν.
Φει. Διὰ ταῦτα δὴ καὶ θοἰμάτιον ἀπώλεσας;
Στρ. Ἀλλ' οὐκ ἀπολώλεκ' ἀλλὰ καταπεφρόντικα.
Φει. Τὰς δ' ἐμβάδας ποῖ τέτροφας ὦ 'νόητε σύ.
Στρ. Ὥσπερ Περικλέης, εἰς τὸ δέον ἀπώλεσα.
B Ἀλλ' ἴθι βάδιζ', ἴωμεν. εἶτα τῷ πατρὶ
Πειθόμενος ἐξάμαρτε. κἀγώ τοι ποτὲ
Οἶδ' ἑξέτει σοι τραυλίσαντι πειθόμενος,
Ὃν πρῶτον ὀβολὸν ἔλαβον ἡλιαστικὸν,
Τούτου 'πριάμην σοι Διασίοις ἁμαξίδα.
Φει. Ἡμὴν σὺ τούτοις τῷ χρόνῳ ποτ' ἀχθέσει.
Στρ. Εὖ γ' ὅτι ἐπείσθης. δεῦρο δεῦρ' ὦ Σώκρατες
C Ἔξελθ'. ἄγω γάρ σοι τὸν υἱὸν τουτονί.
Ἄκοντ' ἀναπείσας. Σω. νηπύτιος γάρ ἐστ' ἔτι,
Καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.
Φει. Αὐτὸς σὺ τρίβων εἴης ἂν εἰ κρέμαιό γε.
Στρ. Οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκάλῳ.
Σω. Ἰδοὺ κρέμαιό γ' ὡς ἠλίθιον ἐφθέγξατο.
Καὶ τοῖσι χείλεσιν διερρυηκόσιν.
D Πῶς ἂν μάθοι ποθ' οὗτος ἀπόφευξιν δίκης.
Ἢ κλῆσιν. ἢ χαύνωσιν ἀναπειστηρίαν.
Καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολος.

*Didicisti ab hisce terræ filijs, pater?*
ST. *Imò & alia plura, sed quòd annis obsitus*
*Essem, statim obliuiscebar, quæ didiceram.*
PH. *Etiam propterea vestem amisisti, puto?*
ST. *Imò non amisi, sed in studia artium*
*Et literarum impendi.* PH. *sed tuos calceos*
*Quò contulisti tu fatue?* ST. *in Rempubl.*
*Atque necessarium vsum, vt Pericles, perdidi.*
*Sed abi, perge, vnà eamus, & tu, dum patri*
*Sis obsequens, pecca. nam & ego olim, dum tibi*
*Adhuc sexenni & balbutienti sum obsequens,*
*Plostellum emi tibi, in festo Dialium,*
*Obolo, quem primum pro mercede acceperam,*
*Quod Heliæo interfuissem iudicio.*
PH. *Næ, tu istuc cum malo tuo olim senties.*
ST. *Bene est, quòd mihi pares. Age huc, huc Socrates*
*Exi: nam hunc adduco tibi filium meum:*
*Cui vel nolenti persuasi.* SO. *quippe fatuus*
*Est, neque adhuc nostris assueuit panarijs*
*Hic pensilibus.* PH. *tute illis assuescas, vbi*
*Suspensus fueris.* ST. *apage hinc in malam crucem.*
*Tun' ita magistro maledicas, homo impudens?*
SO. *Ecce hoc, vbi suspensus fueris, quàm friuolè*
*Effutijt, labiis distortis? quomodo hic*
*Discat vitare litem, aut aduersarium*
*Citare, vel relaxare animos iudicum*
*Verbis, ad persuadendum satis idoneis?*

Σχόλια. Τοὺς γηγενεῖς] διὰ τὸ ὠχροὺς καὶ νεκρώδεις εἶναι. ἢ ἀσεβεῖς καὶ θεομάχους διὰ τοὺς γίγαντας. Καταπεφρόντικα.] εἰς τοὺς φροντιστὰς ἀνάλωσα. ὡς εἰ ἔλεγε καταπεφρόνηκα. ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.

E **Bisetus.** ὦ 'νοήτε σύ.] ὦ ἀνόητε, ὦ ἄφρων.

Σχόλια. Ὥσπερ Περικλέης.] Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. φασὶ δὲ ὅτι τοὺς λογισμοὺς διδοὺς, τάλαντα εἴκοσιν ἁπλῶς εἰπεῖν εἰς τὸ δέον ἀναλωκέναι. φησὶ δὲ Ἔφορος ὅτι μετὰ ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι, Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειστοάνακτα δὲ ιε' ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς ὑπὸ τῶν περὶ τὸν Περι-
F κλέα, μὴ θελήσαντα γυμνῶς εἰπεῖν ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τὸ ἐνδεές. ἄλλως. Περικλῆς Ἀθηναίων στρατηγὸς χρήματα τοῦ δημοσίου λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ἐσφετερίσατο συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. ἐπεὶ δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας ἠρωτᾶτο ποῦ ἀνηλώθη. ὑπὸ μεγαλονοίας ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. ἄλλως. Περικλῆς τοῖς Ἐφόροις Λακεδαιμονίων Κλεάνδρῳ καὶ Πλειστοάνακτι
G χρήματα δέδωκεν ὑπὲρ προδόσεως, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχύνειν, ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφόνευσαν, τὸν δὲ Πλειστοάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν, οἰηθέντες αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς δωροδοκήσαντας, ἐκ τῆς Ἀττικῆς ἀναχωρῆσαι.

Εἶτα τῷ πατρί.] ἀντὶ τοῦ ἔχεις ἀπολογίαν ὅτι τῷ πατρὶ πειθόμενος ἐξήμαρτες, ὠφελήθητι καὶ ἁμάρτανε δι' ἐμέ. Τραυλίσαντι] ψελλίσαντι. ἀντὶ τοῦ ἄσημον ἀφιέντι φωνήν. ἡλιαστικὸν δὲ ἀντὶ τοῦ ἐκκλησιαστικόν. ἡλιαία δὲ τὸ δικαστή-
E ριον διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι. ἐλάχιστος δὲ τῶν δικαστικῶν ὁ μισθός. Διασίοις.] ἑορτὴ τοῦ Διός. ἁμαξὶς δὲ τὸ μικρὸν ἁμάξιον ἢ πλακοῦντος εἶδος. Ἡ μὴν σὺ τούτοις.] προαναφωνεῖ αὐτῷ ἃ μέλλει ποιήσειν, ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ ἂν μάθω. τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει εὖ γ' ὅτι ἐπείσθης. Νηπύτιος γάρ,] ἀντὶ τοῦ νήπιος. ἐπεκτείνει δὲ τὸ ὄνομα ὁ Σωκράτης ἵνα καταπλήξῃ τὸν νεώτερον νῦν εἰσελθόντα. ἀλλὰ σύ γ' αὐτὸς, ἐκ τῶν κρεμαστῶν δηλονότι τε-
F τριμμένος εἴης ἀεὶ κρεμάμενος. λέγει δὲ τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ γράφεται, ἐπεὶ αὐτὸς ἐπὶ κρεμάθρας ἦν. Ἰδοὺ κρέμαιό γε.] διώκων ὁ Σωκράτης τῇ φωνῇ τοῦτον μιμούμενος ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε. Καὶ τοῖσι χείλεσι διερρυηκόσι] τῇ φωνῇ μιμούμενος ὁ Σωκράτης φησὶ διακεχηνὼς τοῖς χείλεσι. Κλῆσιν.] τὴν μαρτυρίαν. χαύνωσιν δὲ λύσιν τῶν δικῶν. καὶ οἷς ἀπατῆ τὰ κοινὰ ῥήματα ἀναπείθοντα τοὺς ἀκούοντας. ἄλ-
G λως. χαύνωσιν ἀναπειστηρίαν. ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανοὺς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ. καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς ὡς ἄρα ἀληθῆ λέγει. Καί τοι ταλάντου.] ἀξιόπιστόν τι ἀεὶ οἱ διδάσκαλοι λέγοντες. ἐλαττοῦνται τὸν δέ. οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγγέλλονται προνοήσασθαι τῶν κοινῶν μαθημάτων ὅσων προνοοῦσι μάλιστα.

Στρ. Α-